δὲ τὸ ἓν, τὸ μηδενὶ προσανῆκον ἑτέρῳ, ϗ ἀδιαίρετον μὲν ὂν ἐν ἑαυτῷ, ἄλλου δὲ παντὸς διαιρούμενον, ὃ καὶ ἄτομον εἴωθε καλεῖσθαι. Οἱ μὲν οὖν Σχολαστικοὶ ταῦτα. Ὁ δὲ Μόρος ἀηδεστάτην οἴεται τὴν τοῦ ὄντος διαίρεσιν εἰς τὸ καθόλου, ϗ τὸ καθ' ἕκαστον. Ὅτι γὰρ ὑφέστηκε, φησὶ, καθ' ἕκαστον ἐστὶ, καθόλου δ' οὐδὲν, εἰμὴ τρόποι τινὲς τοῦ νοεῖν ϗ λόγοι, οὓς ἐκ τῆς Λογικῆς παιδευόμεθα ἕξεως.

Μϛ'. Γένος ἐστὶ τοῖς φιλοσοφοῦσι τὸ πολλοῖς προσανῆκον καθόλου, τούτοις ὁλοσχερὲς ἑνόν. Εἶδος δὲ τὸ πολλοῖς τῶν καθ' ἕκαστα. Ῥάδιον δὲ συνιδεῖν τὰ γένη ϗ τὰ εἴδη οὐσίας εἶναι ὀνοματώδεις, οὐχὶ δὲ πραγματιώδεις, εἰμήπου κατὰ τὴν δόξαν τῶν φύσιν τινὰ ϗ οὐσίαν καθόλου ὑποτιθεμένων. Τὸ τοίνυν εἶδος νόησις ἐστὶ πολλῶν καθ' ἕκαστα τῆς αὐτῆς ἢ παραπλησίας φύσεως, τὸ δὲ γένος νόησις πολλῶν ὁμοίων εἰδῶν φησὶ Λώκιος (1).

ΜΖ'. Πρόσωπον ἐστὶν ἄτομον λογικόν. Ὧ δὲ τὸ ὂν ἐστὶν ἄτομον, ἀρχὴ καλεῖται παρὰ τοῖς Σχολαστικοῖς ἀτομότητος, τὸ δὲ πρόσωπον ϗ ὑπόστασις ἤκουσεν, ἤτε ἀρχὴ τῆς ἀτομότητος τοῦ προσώπου προσωπότης. Σημειωτέον ἀλλ' οὖν, ὁπηνίκα περὶ τῶν θεαρχικῶν προσώπων ἵσταται λόγος, μὴ χρῆναι ὡς πρόσωπον λογικὸν ἐκλαμβάνειν τὸ πρόσωπον, οὗτινος ἡ φύσις τῆς τῶν ἄλλων διῄρηται φύσεως. Αὕτη γὰρ ἀπάτη πρὸς ἀσέβειαν τοῖς περὶ Εὐνόμιον ϗ Σοκῖνον ἐγένετο, οἱ κατὰ τῆς Τριάδος, ὡς δόγματος ἀντιφάσει περιπίπτοντος, ἐξεμάνησαν, ταῖς ἀπὸ τῶν κτισμάτων ἐννοίαις τὰ τοῦ ἀκτίστου Θεοῦ σταθμᾶσθαι τολμῶντες οἱ δείλαιοι.

## ΚΕΦΑΛ. ϛ'.

## Περὶ Δυνάμεως καὶ Αἰτίων.

ΜΗ'. Δύναμις ἐστὶν ἡ πρὸς τὸ ἐνεργεῖν ἕξις ϗ δεξιότης, οἷα ἡ τοῦ νοεῖν δύναμις, ἡ κινητικὴ, ϗ αἱ παραπλήσιαι. Ὁ δὲ λόγος περὶ τῶν ἐνεργητικῶν μάλιστα δυνάμεων· αἱ γὰρ παθητικαὶ καταχρηστικώτερον λέγονται. Τῶν οὖν δυνάμεων ἡ ἐπίκρισις ἐκ τῆς ἐνεργείας· ἐκ ταύτης γὰρ ἐκείνην εἰκάζομεν, ϗ ἐκ τῆς φύσεως ϗ ἐπιτάσεως ἐκείνης ταύτας, ὅπως ἔχουσι φύσεως ϗ τελειότητος, συνιδεῖν ἐπειγόμεθα, καίτοι οὐκ ἀεὶ εὐτυχῶς. Καὶ γὰρ ἐνεργημάτων μὲν πολλῶν ἐν τῷδε τῷ παντὶ αἰσθήσει ϗ συνειδήσει ψυχῆς καθαπτόμεθα, τῆς δὲ τῶν ἐνεργητικῶν δυνάμεων φύσεώς τε ϗ οὐσίας μόλις εἰκασίᾳ τινὶ

(1) Βιβλ. Γ'. Κεφ. Γ'. §. ιβ'. ϗ ιγ'.

περιγιγνόμεθα, εἰ τ' ἀληθὲς ὁμολογεῖν μέλλοιμεν. Ὅρα Λώκ. Βιβλ. Δʹ. Κεφ. Γʹ.

ΜΘʹ. Λόγος ἀποχρῶν ἐστι, δι' ὃν νοεῖται εἶναί τι, ἢ γοῦν τοιοῦτον εἶναι. Ἔστι δὲ λόγος ἀποχρῶν ὑπάρξεως, οὐσίας, σχέσεως, κτλ. Τῷ τοιῷδε ἀποχρῶντι λόγῳ ἀπείρως ἐχρήσατό τε καὶ κατεχρήσατο Γοτοφρέδος ὁ Λεϊβνίτιος. Τοῦ δὲ καὶ μᾶλλον ἔτι ὁ Οὐόλφιος, ὃς οὐδὲ ἀληθῶς ἔφησε πρῶτον εἶναι τὸν χρησάμενον τῷ ἀποχρῶντι λόγῳ τὸν Λεϊβνίτιον. Πάντως τὸ λεγόμενον παρημελῆσθαι τῷ ἀνδρὶ τὴν ἀνάγνωσιν τῶν Ἀριστοτέλους καὶ Πλάτωνος (1) Βιβλίων καὶ ἄλλων ἀρχαιοτέρων προφανὲς ἴσησι.

Νʹ. Ἀρχὴν ἀποκαλοῦσιν οἱ φιλόσοφοι τὴν περιέχουσαν τὸν ἀποχρῶντα λόγον ἑτέρου τινός. Ἐπεὶ δὲ ὁ λόγος ἀποχρῶν ἐστιν ὁ μὲν ὑπάρξεως, ὁ δὲ οὐσίας, ἢ τάξεως, ἢ ἐπιστήμης, ταύτητοι καὶ ἀρχή ἐστιν ἡ μὲν ὑπάρξεως, ἡ δὲ οὐσίας, ἡ δὲ τάξεως, ἡ δὲ ἐπιστήμης. Οἷον τὸ Θεῖον πρωτίστη ἐστὶ καὶ παντελευθέρα ἀρχὴ τῆς ὑπάρξεως τοῦ κόσμου. Αἱ δὲ ἄτομοι καὶ αἱ κινητικαὶ δυνάμεις ἀρχὴ εἰσὶν ἐσωτερικὴ τοῦ σωματικοῦ κόσμου. Ἀρχὴ δὲ τάξεως, ἀφ' ἧς τάξις τις ἤρτηται. Καὶ τῶν ἐπιστημῶν ἀρχαὶ τὰ ἀξιώματα.

ΝΑʹ. Αἰτία ἐστὶν ἀρχὴ ἐνεργητικὴ τῆς ὑπάρξεως τινός. Διαιρεῖται δὲ τοῖς φιλοσοφοῦσιν εἰς αἰτίαν πρώτην, καὶ δευτέραν, καὶ ἄμεσον, καὶ ἔμμεσον, καὶ προσεχῆ, καὶ πορρωτέρω, καὶ προσεξισουμένην καὶ μή, καὶ φυσικήν, καὶ ἠθικήν. Αἰτία γοῦν πρώτη τὸ Θεῖον, ἥτις αἰώνιος οὖσα ἑαυτὴν κινεῖ, οὐδ' ὑπ' ἄλλης κινεῖται, οὐδ' ἤρτηται, οὐδὲ διορίζεται. Δευτέρα δὲ ἡ μὴ αἰώνιος οὖσα, καὶ ἄλλης προτέρας χρῄζουσα πρός τε τὸ εἶναι καὶ συντηρεῖσθαι. Ἄμεσος δέ, ἧς μεταξὺ καὶ τοῦ αἰτιατοῦ οὐδεμία ἄλλη ἐγχωρεῖ. Ἔμμεσος δὲ εἰ ἐγχωρεῖ. Καὶ προσεξισουμένη, ἥτις μόνη τὸ ἐξ αὐτῆς παράγει. Μὴ προσεξισουμένη δέ, ἡ μὴ μόνη παράγουσα. Καὶ φυσική, ἡ δι' ἐνεργείας τῷ αἰτιατῷ ἐπεμφανιζομένης ἐνεργοῦσα. Ἠθικὴ δέ, ἡ δι' ἐντολῆς, συμβουλῆς, ἢ παραδείγματος ἐνεργοῦσα.

ΝΒʹ. Ἡ Εἱμαρμένη μετὰ διαφορᾶς τέθειται τῷ Δημοκρίτῳ, καὶ τοῖς Στωϊκοῖς, καὶ τῷ Σπινόζᾳ. Κατὰ γὰρ τὸν Δημόκριτον ἡ εἱμαρμένη ἄπειρός τις ἐστὶ σειρὰ αἰτίων ἀλλήλων ἀπηρτημένων, ὧν οὐδὲν πρῶτον, οὐδέν τε ἔσχατον. Δόγμα γὰρ ἐστὶ Δημοκρίτειον τὰς Ἀτόμους αἰωνίᾳ κινήσει διὰ τοῦ κενοῦ ἀγομένας, θεσμοῖς τισιν ἀναγκαίοις συντιθέναι τὰ πάντα (2), ὥστε μηδεμίαν εἶναι ἀ-

(1) Ἐν Τιμαίῳ. (2) Λαέρτ. Βιβλ. Θʹ. καὶ Στοβαῖος ἐν τῇ Ἐκλογῇ τῇ Φυσ. Κεφ. Ηʹ.

γέννητον ἀρχὴν ϗ πρωτίστην τῶν ὄντων. Ἡ δὲ τῶν Στωϊκῶν εἱμαρμένη σειράτις ἐστὶ ϗ αὐτὴ αἰτίων ὑπ' ἀλλήλων διοριζομένων, ἥκιστα μέντοι αἰωνία, ἀλλ' ἧς κεφαλὴ ὁ Θεὸς, ὅστις ἅπερ εἵμαρται ἅπαξ μὲν γέγραφε, τούτοις δ' ἀεὶ ἐφέπεται, ᾗ φησὶ Σένεκας. Συνᾴδειν οὖν τῇ κατὰ τὸ Χριστιανῶν δόγμα προνοίᾳ τὴν κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένην ὑπείληφεν ὁ Λίψιος (1). Οἱ δὲ ϗ ἀθεΐας αἰτιῶνται, οὐδὲν ἀπᾷδον τοῦ κατὰ Σπινόζαν ἡγούμενοι ἀσεβήματος (2). Ἀλλὰ γὰρ ἐκ τῶν ἀρχαίων Στωϊκῶν τὴν αὐτῶν αἵρεσιν ἀνιμωμένους ταῦτα ἐστὶν ἀκούειν· Αʹ. ὅτι δημιουργὸν οὗτοι τῶν πάντων τὸ θεῖον ἦσαν γεραίροντες. Βʹ. ὅτι ἐν τῷ Θεῷ αἰώνιόν τινα κόσμον νοερὸν διωρίζοντο. Γʹ. ὅτι τῇ θείᾳ θελήσει τὸν νοερὸν κόσμον τραπῆναι μὴ δύνασθαι εἰσηγοῦντο, ἅτε δὴ ἐν τῷ ἀτρέπτῳ θείῳ νῷ ὑφιστάμενον. Δʹ. ὅτι τοῖς νόμοις τοῦ νοεροῦ κόσμου τὴν θείαν βούλησιν ὑποταττομένην ἐτίθεντο. Εʹ. ὅτι ἐν τῷδε τῷ κόσμῳ ἐπιτελεῖσθαι τὰ πάντα ἐδίδασκον τῇ αὐτῇ τάξει, ἥπερ ἐν τῷ νοερῷ περιέχονται. Μέτιθι τὸν Σένεκαν (3), ϗ τὸν Κικέρωνα (4). Τελευταῖον ἡ κατὰ Σπινόζαν εἱμαρμένη ἐστὶ παραπλησία τις αἰτίων σειρὰ, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φύσεως ἀπ' αἰῶνος ἐκπηγάζουσα. Οἴεται γὰρ ὁ Σπινόζας μίαν μόνην οὐσίαν ὑφίστασθαι, ϗ ταύτην αἰωνίαν, ἐξ ἀπείρου νοήσεως καὶ ἀπείρου ἐκτάσεως συνεστηκυῖαν, ϗ ταύτην εἶναι τὸν Θεόν. τ' ἄλλα δὲ ὅσα ἐστὶ, διαθέσεις τινὰς τυγχάνειν τῶν θείων προσόντων, ϗ ταῦτα εἶναι ἐξ ἀνάγκης ἀπὸ τῆς τοῦ Θεοῦ φύσεως, ϗ κατὰ νόμους τοὺς τῆς θείας φύσεως ταύτης ϗ ἀναγκαίως (5). Ἐξ ὧν ϗ φανερὸν ὅσον ἄπεστιν ἡ τοῦ Σπινόζα δόξα τῆς τῶν Στωϊκῶν. Ὁ τοίνυν Βάλχιος (6) ϗ ὁ Βαΐλιος (7) τὰ Σπινόζου ϗ Ἀριστοτέλην φρονῆσαι δεῖξαι διϊσχυρίζονται. Ἀλλ' οὐκ ὀρθῶς οἶμαι ἢ τοῦτο μόνον, ὅτι τὴν τοῦ κόσμου παραγωγὴν ἀπ' αἰῶνος ϗ ἀναγκαίως, ὥσπερ ἐκεῖνος, ὑπέθετο.

ΝΓʹ. Συνοχὴ, ἤτοι Συντήρησις, ἐστὶ διηνεκὴς ὁρμὴ τοῦ μὴ ὀλεσθῆναι τὸ ὂν ἀπείργουσα. Ὥρισαι δὲ τοῖς φιλοσοφοῦσι συνεχής τις δημιουργεία·

(1) Ἐν τῇ φυσιολογίᾳ τῇ Στωϊκῇ Βιβλ. Αʹ. διαλ. ιαʹ.

(2) Θωμάσιος περὶ ἐμπρησμοῦ διαλ. ιγʹ. Καὶ Λακτάντ. Βιβλ. Ζʹ. Κεφ. Γʹ.

(3) Ζητημ. Φυσ. Βιβλ. Βʹ. Κεφ. ΛΕʹ. ϗ ΛΗʹ. ϗ περὶ προνοίας Κεφ. Εʹ.

(4) Κικ. περὶ Εἱμαρμ.

(5) Σπινόζα Ἠθ. μέρ. Αʹ. Προτ. Εʹ. ϗ ϛʹ. μέρει Βʹ. Προτ. Αʹ. ϗ Βʹ. μέρει Αʹ. Προτ. ΙΑʹ. Καὶ ἐν τῷ Πορ. τῆς ΚΕʹ. Προτ. ϗ Προτ. Ιϛʹ. ΙΖʹ. ϗ ΛΓʹ.

(6) Περὶ Ἀθεϊσμοῦ Ἀριστ. ἐν τοῖς Ἀκαδ. παρέργοις Σελ. 298. Ἐκδ. Λειψίας ἔτ. 1721.

(7) Ἐν τῷ Λεξικ. Ἄρθρ. Ἀριστ. Σελ. τνα.

ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλὰ μὴ τοῦτο Σπινοζισμοῦ τινὰ ἐδμὴν ἀποφέρει, τοῦ διηνεκῶς καὶ ἀδιαλείπτως τῆς θείας φύσεως τὸν κόσμον ἐκπηγάζειν εἰσηγουμένου; Πολύτι ἡ συνοχὴ τῆς δημιουργείας πάντως διέστηκεν· ἡ μὲν γὰρ ἐνέργεια ἐστὶν, ᾗ τὸ μὴ πρότερον ὑφεστὸς παράγεται· ἡ δὲ ᾗ τινι τὸ ἤδη ὑφεστὸς, ἵνα μὴ ἐπὶ τὸ μὴ ὂν τραπῇ, συνέχεται.

ΝΔ'. Αὐτόματον κυρίως ἐστὶν, ὅτε τι ἄνευ προνοίας, καὶ προγνώσεως, καὶ τάξεως, καὶ τέλους, καὶ χωρὶς αἰτίων διωρισμένων τελεῖται. Εἴρηται δὲ χωρὶς αἰτίων· καὶ γὰρ ἄνευ προγνώσεως μόνου, ἣν παρῇ διωρισμένα τὰ αἴτια, εἱμαρμένη τὸ λεγόμενον ἔσται καὶ οὐκ αὐτόματον. Διὸ ἐξηπατῆσθαι μοι δοκοῦσιν οἱ ψιλὸν τὸ αὐτόματον τῇ Ἐπικούρου διδασκαλίᾳ ἀνατιθέμενοι, ὥσπερ Κικέρων. Ὁ γὰρ Ἐπίκουρος τεταγμένην τινὰ τάξιν αἰτίων ἐτίθετο κατὰ τὴν Δημοκρίτου εἱμαρμένην. Καὶ τῷ ὄντι ψιλὸν τὸ αὐτόματον οὐδεὶς οὐδέπω, οὗ ἂν εἰδείην, ἐν τοῖς οὖσιν εἰσήνεγκε.

ΝΕ'. Τέλος ἐστὶ λόγος ὁ τὴν ἐλευθερίαν πρὸς τὸ ἐνεργεῖν μᾶλλον ἢ μὴ κάμπτων. Οὐκ ἀκριβῶς δὲ τοῖς ἄλλοις ὥρισαι οὗ ἕνεκα γίνεταί τι· ἐκεῖνο γὰρ μᾶλλον τοῦ τέλους τὸ ἀντικείμενον, ἤτοι τὸ σκοπούμενον. Διεῖλον δὲ τὸ τέλος εἴς τε τὸ τοῦ ἐνεργοῦντος καὶ τὸ τῆς ἐνεργείας, καὶ οὗ καὶ ᾧ, καὶ τὸ ἔσχατον καὶ τὸ μέσον ψυχρῶς. Ἔστι γὰρ προσῆκον τὸ τέλος μόνῳ τῷ ἐνεργοῦντι, καὶ μετὰ ἐλευθερίας· καὶ κυρίως τὸ ἔσχατον.

## ΚΕΦΑΛ. Ζ'.

## Περὶ Διαστήματος, καὶ τοῦ Ἀπείρου, καὶ Διαμονῆς, καὶ Κινήσεως.

Ν϶'. Ἐκτεταμένον καλοῦμεν πᾶν τὸ εἰς μῆκος, ἢ πλάτος, ἢ βάθος διαστατόν. Διάστημα καὶ χώραν τὸ τριχῇ διαστατόν. Ὁράσει δὲ καὶ ἁφῇ τούτου ἔννοιαν πορίζομεθα (1). Καίτοι σημειωτέον ὅτι διὰ τῶν αἰσθήσεων τουτωνὶ ἡ τοῦ σωματικοῦ μόνου διαστήματος ἡμῖν ἐγγίνεται ἔννοια. Τὸ δὲ παρά τε πολλῶν ἀρχαιοτέρων καὶ νεωτέρων ἀσώματον κατ' ἀφαίρεσιν ἐπινοοῦμεν, οἷά που καὶ γραμμὴν, καὶ ἐπιφάνειαν οἱ γεωμετροῦντες· οὐδεμία δὲ ἀνάγκη νοούμενον καὶ ὑφίστασθαι. Ὁ μὲν οὖν Κλάρκιος (2) ἔμφυτον βούλεται τὴν ἰδέαν τοῦ διαστήματος. Ἀλλ' εἰ μὲν κατὰ τοὺς Ἐπικουρείους καὶ Στωϊκοὺς, ὅτι φύσει πρὸς τὴν τοῦ διαστήματος

---

(1) Λώκιος Βιβλ. Β'. Κεφ. Δ'., καὶ Κεφ. ΚΓ'. §. β'.

(2) Περὶ ὑπάρξ. καὶ προσόντ. Θεοῦ.



ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΧΕΙΡΙΣΗΣ ... ΙΩΑΝΝΙΝΑ 2006 — Ε.Υ.Δ της Κ.τ.Π.

κατανόησιν ὀδηγούμεθα, δώσομεν. Εἰ δ᾽ οὖν, ὡς οἱ περὶ Πλάτωνα ϗ Καρτέσιον τὰς ἐμφύτους ἰδέας τῇ ψυχῇ βούλονται ἐγκεκολαμμένας, ἀπαναινόμεθα.

ΝΖʹ. Στερεότης δὲ παρὰ τοῖς φιλοσοφοῦσιν ἐστὶν ἡ τοῦ ἐκτεταμένου ποιότης, καθ᾽ ἣν μέρος αὐτοῦ χωρῆσαι, θάτερον, ἔνθα ἐστὶν, ἀντέχει. Καὶ ἔστιν ἄρα διὰ τὸ στερεὸν τὸ ἀδιαχώρητον.Ποριζόμεθα οὖν τὴν τοῦ στερεοῦ ἔννοιαν ἀφῇ μόνῃ, ἧς ἄνευ οὐκ ἂν, οὐδὲ ὁράσει κεκοσμημένοι, εἴχομεν ὅλως. Ἐπιστῆσαι δὲ δεῖ τὴν ποιότητα ταύτην σχετικὴν εἶναι τοῖς σώμασι, πρὸς ἄλλα δηλαδὴ σώματα, ἢ μέρη σωμάτων θεωρουμένην· ὡς εἴγε ὑφεστηκυῖα ἡ ὕλη, ἣν ῥᾶστα ἅπαν σῶμα διήκει, οἷα τῷ Καρτεσίῳ ὑποτίθεται ἡ αἰθέρειος, ἔσται αὕτη πρὸς τὰ παχύτερα τῶν σωμάτων οἱονεὶ κενὴ χώρα. Ταύτητοι ϗ ἐν τῷ κενῷ τοῦ Βοΰλιου πλεῖστα τοῖς φιλοσοφοῦσιν ὡς ἐν ἀκριβῶς κενῷ διαστήματι τελούμενα παρατηρεῖται, καίτοι ϗ δι᾽ ἐκείνου τὸ φῶς διακέχυται.

ΝΗʹ. Ὕλη κατὰ Λώκιον ἐστὶν ἅπασα ἡ στερεὰ ἔκτασις· σῶμα δὲ ὕλης μέρος διαιρετόν. Καίτοι καὶ ἀδιαφόρως τὰ πολλὰ εἴληπται τὰ τοιαῦτα. Παρὰ τοῖς ἀρχαίοις ἡ ὕλη τὰ τῶν σωμάτων στοιχεῖα σημαίνειν ἐτίθετο. Διὸ κἀκείνων τὴν ὕλην ἀπ᾽ αἰῶνος τιθεμένων, τηρητέον μήπου ϗ τὰ σώματα συνδιαιωνίσαι τῇ ὕλῃ ἐκείνους πεφρονηκέναι νομίσαιμεν. Τοῦτο γὰρ οὐκ ἀληθές.

ΝΘʹ. Κενόν ἐστι τοῖς Ἐπικουρείοις ἔκτασις ἀπέραντος, ἀκίνητος, ἀδιαίρετος, μὴ στερεὰ, ϗ αἰσθήσεσι πάντῃ ἄληπτος. Κατὰ τοῦ κενοῦ ἠνέχθησαν ἐν τοῖς νεωτέροις οἱ περὶ Καρτέσιον ϗ Λεϊβνίτιον· τούτου δὲ προέστησαν Γατσένδος, Μόρος, Νεύτων, Κλάρκιος, Γραβεζάνδιος, Μουσχεμβροέκιος, ϗ ἄλλοι.

Ξʹ. Ἄπειρον καλοῦσιν οἱ φιλόσοφοι τὸ περάτων ἀμοιροῦν· ἀναφέρεται δὲ τὸ ἄπειρον ἐπίτε τὴν διαμονὴν, ϗ τὸ διάστημα, ϗ τὸν ἀριθμὸν, ᾗπου τῷ Λωκίῳ παρατετήρηται (1). Τῷ ὄντι δὲ τὸ πεπερασμένον ϗ ἄπειρον τοῖς δίκην πηλικοτήτων θεωρουμένοις προσανάπτεται, ϗ τοῦ μᾶλλον ϗ ἧττον δεκτικοῖς οὖσιν. Ἀπὸ τούτων οὖν ἡ ἀπειρία ϗ ἐπὶ δυνάμεως, ϗ σοφίας, ϗ τελειότητος, ϗ κάλλους, ϗ ἄλλων καταχρηστικώτερον εἴληπται. Ὁ μὲν οὖν Σπινόζας (2) ἄπειρον ὡρίσατο τὸ ὑφ᾽ ἑτέρου ὁμοφυοῦς περατωθῆναι μὴ ἔχον. Ἀηδῶς· ἔοικε γοῦν ὑπαινίττεσθαι τὸ ὑπὸ τοῦ ὁμοφυοῦς προσαυξηθῆναι μὴ πεφυκός. Ὁ δὲ Ὠββέσιος (3) σχετικὴν εἶναι ἡγή-

(1) Βιβλ. Βʹ. Κεφ. ΙΖʹ.
(2) Ἐν τῇ ἠθικῇ μέρ. Αʹ. ὁρ. βʹ.
(3) Περὶ πολίτου Κεφ. ΙΕʹ. §. 14.

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΧΡΟΝΙΚΗΣ ΜΕΛΕΤΗΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΑΣ / ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ / ΒΙΒΛΙΟΘΗΚΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΡΟΥ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σατο τὴν ἔννοιαν τοῦ ἀπείρου, κἀκεῖνα λέγειν ἡμᾶς ὑπείληφεν ἄπειρα, ὧν τὴν ἔκτασιν, ἢ τελειότητα διανοίᾳ περιλαβεῖν οὐδαμῶς ἐξικνούμεθα. Ἀλλὰ διαιρετέον, καὶ τὸ μὲν ἄπειρον ἀπολύτως ῥητέον καὶ καθ' αὑτὸ, τὸ φύσει μὴ πεφυκὸς μᾶλλον προσαυξηθῆναι ὑπὸ μηδενὸς, ἢ ἐπιταθῆναι· τὸ δὲ κατὰ σχέσιν, τὸ καίτοι πεφυκὸς, ἀλλ' ἡμῖν ἥκιστα διανοίᾳ περινοούμενον.

ΞΑ'. Διαμονὴν καλοῦμεν τὴν συνεχῆ τοῦ ὄντος ὕπαρξιν. Καὶ τὴν μὲν ἀπόλυτον καλοῦμεν, τὴν πρὸς ἄλλο μηδὲν ὂν, οὐδ' ὄντος κίνησιν ἀναφερομένην· τὴν δὲ σχετικὴν, ἣν σχέσει τῇ πρὸς τὰ ἄλλα καταμετρούμεθα. Συνῆπται γοῦν τῇ ἐννοίᾳ τῆς διαμονῆς ἔννοιά τις διαδοχῆς, ὅτι διαμένειν αἰσθόμεθα, ὅσα πλείοσιν ἡμετέραις νοήσεσιν ἀλλήλας διαδεχομέναις, ἢ παρατάσει κινήσεως, τῆς κατὰ διαδοχὴν τελουμένης, συνυφεστῶτα νοεῖται· διὸ καὶ ὁ μὴ προσέχων οὐδὲ τοῦ παραῤῥέοντος χρόνου αἰσθάνεται (1). Τὸ δ' ἀληθὲς εἰπεῖν, οὐδέν ἐστιν ἡ διαμονὴ τοῦ διαμένοντος ὄντος διῃρημένον. Διὸ καὶ οἱ Πλατωνικοὶ ἐξηπάτηντα τὸν χρόνον μέτρον κινήσεως ὁρισάμενοι. Καὶ εἰ γὰρ μηδέτις ἦν κίνησις ἐν τῇ φύσει, οὐχ ἧττον ἂν τὰ ὑφεστῶτα ἐν χρόνῳ διήρκεσε.

ΞΒ'. Διττὴν δέ τινα διαδοχὴν ἐπὶ τῆς διαμονῆς διαιρεῖν ἔξεστι, τὴν μὲν μεταφυσικὴν, τὴν δὲ φυσικήν. Καὶ ἡ μὲν ἡ συνεχὴς τυγχάνει τοῦ ὄντος ὕπαρξις, ἡ πολλαῖς νοήσεσιν, ἢ κινήσεσι διαδεχομέναις ἀλλήλας ἀντιστοιχοῦσα καὶ καταμετρουμένη. Ἡ δὲ διαδοχὴ ἐστὶ πλειόνων καταστάσεων ἐν τῷ διαμένοντι, οἷαι ἐν τῷδε τῷ παντὶ καθορῶνται, ἐν ᾧ τὰ μὲν γεννᾶται, τὰ δὲ φθείρεται, καὶ ἐν τῷ νῷ, τῷ πλείοσι κατὰ διαδοχὴν νοήσεσί τε καὶ θελήσεσιν ὑποκειμένῳ. Ἐκ τούτων οὖν ῥᾷστα ἐπιλυθήσεται καὶ τῶν Μεταφυσικῶν τὸ ζήτημα, εἴτις ἐστὶ διαδοχὴ ἐν τῇ αἰωνιότητι.

ΞΓ'. Τῆς δὲ Διαμονῆς τρία τὰ εἴδη, αἰωνιότης, ἡ ἀρχῆς καὶ τέλους ἐπέκεινα· ἀϊδιότης, ἡ τοῦ ἀτελευτήτου μὲν, μὴ ἀνάρχου δέ· καὶ χρόνος, ἡ τοῦ καὶ ἀρχὴν ἐσχηκότος, καὶ τέλος ἕξοντος κατὰ τὸ εἶναι παράτασις· τὸ δὲ αἰώνιον καὶ ἀΐδιον εἴληπται καὶ ἀδιαφόρως.

ΞΔ'. Τόπον οἱ φιλοσοφοῦντες καλοῦσι μέρος τι τῆς τοῦ παντὸς ἐκτάσεως, ἢ ἀκίνητον ὂν, ἢ ὡς τοιοῦτον θεωρούμενον. Οἱ μὲν οὖν τὸ κενὸν πρεσβεύοντες, μέρος εἶναι τούτου τὸν τόπον βούλονται (2). Οἱ δὲ ἀποβάλλοντες,

(1) Ἀνεγνώσθω Λώκιος Βιβλ. Β'. Κεφ. ΙΔ'. §. γ'. καὶ δ'.

(2) Γραβεζ. εἰσηγ. Φιλοσ. τῆς Φιλοσ. τοῦ Νεύτ. Βιβλ. Α'. Κεφ. ϛ'.



Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐσωτερικὸν εἶναι τόπον, φασὶν, αὐτὴν τὴν τῦ πράγματος ἔκτασιν, ἐξωτερικὸν δὲ τὴν τῦ περιέχοντος ἐπιφάνειαν, ἥτις ἐ̃ ὡς ἀκίνητος θεωρεῖται (1). Ἔνθεντοι ἐ̃ τὰς οὐσίας ὅτοι τὰς μὴ ἐκτεταμένας ὑπάρχειν μὲν, ὐδαμῦ δὲ οἰόμενοι, Οὐδαμῖται ἐ̃ προσεκλήθησαν (2).

ΞΕ'. Κίνησις ἐςὶν ὁποιαδηποτῦν ἐνέργεια, ᾗ τινι τὸ ὂν ἀπὸ τόπυ ἐξωτερικῦ ἐπὶ τόπον ἐξωτερικὸν μεταφέρεται. Ἀλλὰ τίνι δήποτε λόγῳ τῇ κινήσει τὸ σῶμα ἐ̃ πάντα αὐτῦ τὰ μέρη διατίθεται, ἐ̃ πῶς ἐξ ὑποκειμένυ εἰς ὑποκείμενον μεταβαίνει ἡ ἐνέργεια τῆς κινήσεως, τῦτο τυχὸν ἀκραιφνῶς ὐδεὶς ἀνθρώπων συνίησι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ

## ΚΕΦΑΛ. Η'

## Περὶ Τελειότητος, Ἀληθείας, Ἀγαθότητος, Ὁμοιότητος, Τάξεως, Ἀναλογίας, Κάλλυς.

Ξς'. Τελειότης ἐςὶν ἡ προσόντων πληθύς τε ἐ̃ τιμιότης, ἡ ἑνότης ἐ̃ ἁπλότης, ἡ πρὸς τὸ τέλος τὸ ἴδιον δεξιότης, ἡ πρὸς τὴν ἰδέαν αὐτῦ οἰκειότης ἐ̃ συμφωνία, καθ' ἃ δὴ ἐ̃ τὸ τέλειον λέγεται. Τὸ μὲν ὖν θεῖον κατὰ τὰς Α'. δύο τρόπυς παντέλειον· τὰ δὲ κτίσματα κατὰ τὺς ἐφεξῆς δύο τέλεια λέγεται· καίτοι ἐ̃ κατὰ τὺς προτέρυς ἂν λέγοιτο. Οἷον τελεωτέρα ἡ ψυχὴ τῦ σώματος κατὰ τὸν Β'. ἐ̃ τὸ αἰσθητικὸν σῶμα τῦ μὴ τοιύτυ κατὰ τὸν Α'.

ΞΖ'. Τελειότης δὲ ἡ μὲν ἐκ φύσεως, ἡ δὲ ἀπὸ τέχνης. Οὕτω δὲ διαιρῦμεν, ὐχὶ τὴν φύσιν παρὰ τῆς τέχνης τελειῦσθαι ἡγύμενοι ὡς οἱ πολλοί· τῦτο γὰρ ἀναιρεῖν ἔοικε τὺς τῆς προνοίας λόγυς· ἀλλὰ τὰ ἔργα ἐ̃ τέλη τῆς φύσεως τῶν κατὰ τέχνην ἀντιδιαςέλλοντες.

ΞΗ'. Τὸ δ' ἀπείρως τέλειον διχῶς οἱ Σχολαςικοὶ εἶναι φασὶν, ἐκτεταμένως μὲν, ὡς μηδεμίαν εἶναι δυνατὴν τελειότητα τὴν ἐκείνῳ μὴ προσῦσαν· ἐπιτεταμένως δὲ, ὡς μηδεμίαν τῶν ἐκείνῳ προσυσῶν τελειοτήτων ἐν τῷ οἰκείῳ γένει προσαυξηθῆναι περαιτέρω δύνασθαι. Νοητέον δὲ τὰς τελειότητας ἀλλήλαις μὴ ἀντικεῖσθαι, εἰμὴ τὸν κατὰ Σπινόζαν Θεὸν ἀναπλάττειν βυλοίμεθα, τὸν ἐκ διανοήσεως ἀπείρυ ἐ̃ ἀπείρυ ἐκτάσεως δυσσεβῶς ἐ̃ ἀφρόνως συνιςάμενον.

---

(1) Καρτ. μέρ. Α'. Ἀρχ. ἐ̃ Συλβάνος ὁ Ῥεγιῤῥὸς ἐν τῇ Φυσ. τῦ Καρτ.

(2) Ὅρα Μόρον μέρ. Α'. ἐγχ. Κεφ. ΚΖ'.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΞΘ΄. Ἀλήθεια δὲ ἡ μὲν Φυσική, ἡ δὲ Ἠθική, ἡ δὲ Λογική. Καὶ φυσικὴ μὲν, ἥτις ϗ μεταφυσικὴ λέγεται, ἐςὶν ἡ τῶν πραγμάτων δημιουργητὴ φύσις τε ϗ οὐσία, ἡ τῇ αἰωνίῳ ἰδέᾳ, ἤτοι τῇ νοητῇ ἀρχετύπῳ οὐσίᾳ συμφωνοῦσα. Ἡ δὲ ἠθικὴ συμφωνία τις ἐςὶ τῶν ἐκτὸς σημείων ταῖς τῆς ψυχῆς ἐννοίαις, ᾗ τινι τὸ ψεῦδος ἀντίκειται. Ἡ δὲ λογικὴ ἡ τῶν κατ' ἐπίνοιαν καὶ ὀνοματωδῶν οὐσιῶν ἐςὶ πρὸς τὰς πραγματιώδεις συμφωνία τε ϗ οἰκειότης.

Ο΄. Τὸ δ' ἀγαθὸν, καὶ ἀπολύτως, καὶ σχετικῶς εἴωθε λέγεσθαι. Τὸ μὲν ἐν αὐτῇ τοῦ πράγματος τῇ ὀντότητι, ἤτοι ταῖς ἰδιότησι, ϗ τούτων τῇ τιμιότητι ἐςὶν ὑφιςάμενον. Τὸ δὲ ἐςὶν, ᾧ τινι ἡ τοῦ ὄντος ἀπόλυτος ἀγαθότης συνέχεται ϗ τελειοῦται. Οὕτω τοι τὰ τῆς τύχης, ἀγαθὰ μέν ἐςι καθ' ἑαυτὰ ἀπολύτως, πρὸς ἡμᾶς δὲ ἀναφερόμενα, καὶ οὕτως ἂν, καὶ ὡς ἄλλως ἔχοντα γένοιτο· κακὸν δὲ ἀπόλυτον ἐν τῇ φύσει οὐδέν. Σχετικὸν δὲ πᾶν ὅ,τι ἀγαθῷ τινι ἀπομάχεται. Τοὺς μὲν οὖν Μανιχαίους, καί τινας τῶν ἀρχαιοτέρων φιλοσόφων (1), οὐ δοκεῖ ὂν φύσει πονηρὸν, ἤτοι ἀπολύτως κακὸν ἐν τοῖς οὖσιν εἰσαγαγεῖν, ἀλλὰ νῦν μὲν ὔμενων φυσικῶς πονηρὸν, τοῖς δὲ πονηροῖς χαίροντα, ϗ τὴν πονηρίαν ἠθικὴν, ἤτοι σχετικὴν ἔχοντα.

ΟΑ΄. Ἀγαθὸν ἠθικόν ἐςι συμφωνία πράξεως ἐλευθέρας μετὰ τοῦ νόμου· κακὸν δὲ ἠθικὸν ἡ διαφωνία. Οὐδὲν οὖν ἀγαθὸν, οὐδὲ κακὸν ἠθικὸν, εἰ μὴ πρὸς τὸν νόμον νοηθείη τὸ σύνολον. Οἱ δέ τινες θεολογοῦντες φασὶ, τὰ μὲν εἶναι φαῦλα, ὅτι ἀπηγόρευται, τὰ δὲ ἀπηγορεῦσθαι ᾗ φαῦλα, ϗ ταῦτα ἐσωτερικὴν ἔχειν τὴν πονηρίαν, εἰ μὴ ἀντὶ τούτων νοήσωσι τὰ τῷ νόμῳ τῆς φύσεως ἀντιςρατευόμενα τῷ πρεσβυτάτῳ, ἀηδές τε καὶ καταγέλαςον τὸ λεγόμενον. Οὐκ ἔςι γὰρ ἁμαρτία, ἂν μὴ ᾖ νόμος. Καὶ ἑπόμενα δῆθεν διδάσκοντες ἦσαν οἱ Ἐπικούρειοι, ἐν οἷς τοὺς κατὰ φύσιν νόμους ἀπαναινόμενοι, παρὰ τὴν τοῦ φυσικοῦ κακοῦ πτοίαν, ϗ τοῦ εὖ βιοῦν ἕνεκα, νόμους τε καὶ δίκας τεθῆναι ἐδίδασκον (2). Ἐναπαιτεῖται δὲ παρὰ ταῦτα τῇ πράξει ϗ ἐλευθερίᾳ πρὸς ὑπόςασιν ἠθικῆς πονηρίας. Διὸ ϗ οἱ τὴν Εἱμαρμένην εἰσάγοντες, τῷ ἐλευθέρῳ συνάμα ϗ τὸ ἁμαρτάνειν συναποχρῶνται.

ΟΒ΄. Ὅμοια ἀποκαλεῖ Οὔλφιος, ἐν οἷς ἐκεῖνα, δι' ὧν ὤφειλε διακρίνεσθαι τὰ ὄντα, ταυτά ἐςι. Καὶ μᾶλλον δὲ ὅμοια, ἣν πλείω ὦσι ταυτά· ἧττον δὲ

(1) Ὅρα Πλούτ. περὶ Ἴσιδος ϗ Ὀσίριδος.

(2) Λουκρέτιος Βιβλ. Δ΄.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἢν ἐλάσσω. Α᾽νόμοια δὲ ἀποκαλεῖ, ἐν οἷς τὰ δι᾽ ὧν ὤφειλε διακρίνεσθαι ὅλως εἰσὶν ἕτερα. Οἷον σώματα δύο τὰ Α ϗ Β, πρῶτον μὲν διὰ τῶν ἐκτὸς, οἷον βάρους, σχήματος, χρώματος, ϗ τῶν τοιούτων διακρίνειν εἰώθαμεν, εἶτα διὰ τοῦ ἐντὸς συσχηματισμοῦ τῶν μορίων. Εἰ μὲν οὖν ἅπαντα ταῦτα τοῖς προκειμένοις σώμασι ταυτὰ ᾖ, ὁμοιότατα ἔσαι τὰ σώματα. Εἰδὲ μὴ πάντα, ἧττον ὅμοια. Εἰδ᾽ ἅπαντα ἕτερα, ἀνομοιότατα. Τὸ οὐ πολὺ πρὸ ἡμῶν μεταξὺ Λεϊβνιτίου ϗ Κλαρκίου κινηθὲν ζήτημα, πότερον ἐν τῇ φύσει ὄντα δύο πάντῃ ὁμοιότατα δύναιτ᾽ ἂν ὑποςῆναι, λίαν τεθρύλληται. Α᾽πέφασκε Λεϊβνίτιος ϗ σὺν αὐτῷ Οὐόλφιος, ὅτι δύο πάντῃ ὅμοια ὄντα εἶχεν ἂν πάντα ταυτὰ, καὶ εἴη ἂν ἓν, οὐχὶ δύο· ϗ ὅτι ϗ Θεὸν αὐτὸν δύο ὅμοια πάντῃ δημιουργῆσαι ἀδύνατον. Τίς γὰρ ἂν εἴη ἀποχρῶν λόγος, δι᾽ ὃν τοῦτο μᾶλλον, ἢ ἐκεῖνο; Τῷ γεμὴν δευτέρῳ οὐδὲν ἐκινεῖτο Κλάρκιος. Τίς γὰρ οὕτω τῷ ὄντι θρασὺς ἀνθρωπίσκος περὶ Θεοῦ βουλῆς ϗ κριμάτων ἀποφαίνεσθαι οὐκ ἂν ἐρυθριάσειε; Τῷ δὲ Α᾽. ἀπήντα, ὡς εἰμὴ τῷ εἴδει, ἀλλὰ γοῦν τὸν ἀριθμὸν διεκρίνετο τὰ δύο. Α᾽φελῶς· ὅτι εἰ μηδὲν ἐςιν ἕτερον αὐτοῖς, τὸ ἀριθμῷ διακρίνεσθαι οὐδὲν σημαίνει. Περὶ τούτου τοίνυν οὕτως ἐμοὶ δοκεῖ διαδικαςέον. Τὰ ὑποτιθέμενα ϗ τὴν ἀτομικὴν οὐσίαν πότερον τὴν αὐτὴν ἔχειν ὑποτίθεται, ἢ μή; Εἰ μὲν γὰρ ἐκεῖνο, ἀντιφάσκοντα ἐςὶν ἃ Κλάρκιος ἀποφαίνεται. Εἰ δὲ τοῦτο, ἄτοπα φιλοσοφεῖ Λεϊβνίτιος, ἐν τοῖς ἀδυνάτοις κατατάττων τὰ μηδόλως ἀδύνατα. Ο᾽ρα Λώκιον Βιβλ. Β'. Κεφ. ΚΖ'. ἐν οἷς ἀρχὴν ἀτομότητος φησὶν εἶναι αὐτὴν τοῦ ὄντος τὴν ὕπαρξιν, ᾗ τινι τὸ ὂν ἐν ἰδίῳ τόπῳ ϗ χρόνῳ καθίςαται, ὥςε ταὐτὰ ἐπὶ δυσὶ ταυτοῦσθαι ἀδύνατον εἶναι. §. 3. καὶ ἀλλαχοῦ.

ΟΓ'. Τάξις ἐςὶ πλειόνων κατὰ διαμονὴν, ἢ κατὰ διαδοχὴν ὄντων σειρὰ οὕτω συνημμένη, ὡς ἀεὶ τὸ ἡγούμενον ἀφορᾷν τὸ ἑπόμενον, ϗ τούτου τὸν ἀποχρῶντα λόγον περιέχειν ϗ σύμπαντα πρὸς τέλος τὶ κοινὸν διατάττεσθαι. Διατάττεται δὲ τὰ ὄντα λόγῳ α'. συντομωτέρῳ, β'. ῥᾷονι, γ'. ἡδυτέρῳ, δ'. λυσιτελεςέρῳ. Η῾ δὲ τῆς τάξεως σειρὰ ἐξ ὁμοίων ἐςὶν ἢ ἀνομοίων, ἥτε τῶν ὁμοίων τάξις καλλίων κρίνεται.

ΟΔ'. Η῾ πλειόνων τάξεων ὁμοιότης ἀναλογία προσείρηται. Ε῎ςω τὸν αὐτὸν λόγον διαταττόμενα τὰ Α, Β, Γ, Δ, ϗ τὰ 1, 2, 3, 4, καὶ παρέςαι ταύταις ταῖς τάξεσιν ἡ ἀναλογία. Ο῎ρα Εὐκλείδ. Βιβλ. Ε'. τῶν ςοιχ.

ΟΕ'. Καλὰ εἴωθε λέγεσθαι, τὰ τελειότητι, ἑνότητι, τάξει

τε, ϗ ἀναλογίᾳ συνισάμενα. Μέτιθι τὰς τρεῖς διαλόγους τῦ Πλάτωνος τὸν Φαῖδρον, τὸ Συμπόσιον, ϗ τὸν Ἱππίαν τὸν μείζονα. Ἐκ τέτων γὰρ φανερὸν, ὅτι τὸ κατὰ Πλάτωνα κάλλος χάριςτις ἐςὶν, ἡ τὴν ἐν ἀνθρώπῳ ἁρμονίαν ὁράσει τε, ϗ ἀκοῇ, ἢ λόγῳ κινῦσα. Ἀλλὰ ϗ ὁ Σωκράτης τὰ καλὰ κατὰ μετοχὴν εἶναι τῆς αἰωνίυ ϗ καλλίςης ἰδέας ἔφασκε.

## Προτάσεις αἱ ἐπισημότεραι, αἱ ἐπὶ τὸ Α΄. Κεφ. ἀναφερόμεναι.

### Πρότ. Α΄ ϗ Β΄.

„Τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἀδύνατον. Καὶ τὸ αὐτὸ ὐ συνίςαται „ἰδιώμασι τοῖς ὑπ᾽ ἀλλήλων ἀναιρυμένοις.

### Σχόλιον.

Καλῦνται τὰ ἀξιώματα ταῦτα παρὰ τοῖς Σχολαςικοῖς ἀρχὴ τῆς ἀντιφάσεως, δἰ ὧν οἱ θρασυνόμενοι ἐν τῷ ἅπαντα ἀποφάσκειν ϗ τὰ προδηλότατα ἀπελέγχονται. Μεγίςη δὲ τύτων ἡ χρῆσις πρός τε κατασκευὴν τῆς τῶν ὄντων ὑπάρξεως, ϗ πρὸς ἔρευναν καὶ ἐπίκρισιν τῆς αὐτῶν οὐσίας. Τῷ δὲ δευτέρῳ χρώμεθα, ἐπὶ Θεῦ ϗ πνευμάτων διαπιςῦμενοι τὸ ἀσώματον, ἀποδεικνῦντες ἀμέλει τὴν δύναμιν τῦ νοεῖν, τὴν οὐσιώδη τῷ πνεύματι, ἀντιφάσκειν τῇ ςερεότητι τῇ ὐσιωδῶς προσῦσῃ τῷ σώματι. Ἐχρήσατο δὲ τῷ ἐπιχειρήματι ϗ Καρτέσιος ἐν ταῖς μελέταις, ϗ Στιλλιγφλέτιος θεολόγος Ἄγγλος (1) κατὰ Λωκίυ γράφων, τῦ δυνατὴν εἶναι οὐσίαν σωματικὴν τὴν αὐτὴν καὶ νοητικὴν διϊσχυριζομένυ.

### Πρότ. Γ΄.

„Μηδὲν ἐκ μηδενός· τυτέςιν ὐδὲν γίνεται ἄνευ αἰτίας, ἐν ᾗ εἰδικῶς, „ἢ ἐξόχως εἴη περιεχόμενον.

### Σχόλ.

Οἱ πάντες συνᾴδυσι. Δεκάδι ἐπιχειρημάτων ἐν τῷ Α΄. Βιβλ. ὁ Λυκρέτιος τῦτο δείκνυσι (2). Ἀλλὰ μήπυ τὸ γινόμενον ἐξ αἰτίας, ἐν ᾗ ἐξόχως περιέχεται, ἐκ τῦ μηδενός; οὐδαμῶς. Φασὶ γὰρ οἱ Σχολαςικοὶ τὸ Α ἐν τῷ Β εἰδικῶς περιέχεσθαι, ἐὰν ὁλοσχερὴς ἡ τῦ Α οὐσία ἐν τῷ Β ἐμπεριέχηται, οἷά πυ

---

(1) Ὅρα τὰς σημειώσ. τῦ Ἀκόςα εἰς §. β΄. Κεφ. Γ΄. Βιβλ. Δ΄. περὶ διαν. ἀνθρ.
(2) Ἀπὸ ἔπυς 160. μέχρι 265.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γκρίτζης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006